λόγος ἐν ἐλαχίστοις ἀριθμοῖς ὁ τοῦ Α πρὸς τὸν Β· δεῖ δὴ
ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους ὅσους
ἄν τις ἐπιτάξῃ, ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ· ἐπι-
τετάχθωσαν δὴ Δ· καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας
τὸν Γ ποιείτω· τὸν δὲ Β πολλαπλασιάσας τὸν Δ
ποιείτω· καὶ ἔτι ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε
ποιείτω· καὶ ἔτι ὁ Α τοὺς Γ Δ Ε πολλαπλασιάσας
τοὺς Ζ Η Θ ποιείτω· ὁ δὲ Β τὸν Ε πολλαπλασιάσας
τὸν Κ ποιείτω· καὶ ἐπεὶ ὁ Α ἑαυτὸν μὲν πολλαπλασιά-
σας τὸν Γ πεποίηκεν· τὸν δὲ Β πολλαπλασιάσας
τὸν Δ πεποίηκεν· ἀριθμὸς δὴ ὁ Α δύο τοὺς Α Β
πολλαπλασιάσας τοὺς Γ Δ πεποίηκεν· ἔστιν ἄρα
ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· πάλιν ἐπεὶ
ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ
δὲ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν·
ἑκάτερος ἄρα τῶν Α Β τὸν Β πολλαπλασιάσας
ἑκάτερον τῶν Δ Ε πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Α
πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε· ἀλλ' ὡς ὁ Α πρὸς
τὸν Β, ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, ὁ Δ
πρὸς τὸν Ε· καὶ ἐπεὶ ὁ Α τοὺς Γ Δ πολλαπλασιάσας
τοὺς Ζ Η πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν
Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η· ὡς δὲ ὁ Γ πρὸς τὸν Δ, οὕ-
τως ἦν ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, ὁ
Ζ πρὸς τὸν Η· πάλιν ἐπεὶ ὁ Α τοὺς Δ Ε πολλαπλασιά-
σας τοὺς Η Θ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ
πρὸς τὸν Ε, ὁ Η πρὸς τὸν Θ· ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ε, ὁ Α

πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Η πρὸς τὸν Θ·
καὶ ἐπεὶ οἱ Α Β τὸν Ε πολλαπλασιάσαντες τοὺς Θ Κ πε-
ποιήκασιν, ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, ὁ Θ πρὸς τὸν
Κ· ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὅ τε Ζ
πρὸς τὸν Η καὶ ὁ Η πρὸς τὸν Θ· καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Η,
οὕτως ὅ τε Η πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ· οἱ Γ Δ Ε
ἄρα καὶ οἱ Ζ Η Θ Κ ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Α πρὸς
τὸν Β λόγῳ· λέγω δὴ ὅτι καὶ ἐλάχιστοι· ἐπεὶ γὰρ οἱ Α Β ἐλά-
χιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οἱ δὲ
ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων πρῶτοι
πρὸς ἀλλήλους εἰσίν· οἱ Α Β ἄρα πρῶτοι πρὸς ἀλ-
λήλους εἰσίν· καὶ ἑκάτερος μὲν τῶν Α Β ἑαυτὸν πολλα-
πλασιάσας ἑκάτερον τῶν Γ Ε πεποίηκεν· ἑκάτε-
ρον δὲ τῶν Γ Ε πολλαπλασιάσας ἑκάτερον τῶν
Ζ Κ πεποίηκεν· οἱ Γ Ε
ἄρα καὶ οἱ Ζ Κ πρῶτοι
πρὸς ἀλλήλους εἰσίν· ἐ-
ὰν δὲ ὦσιν ὁποσοιοῦν
ἀριθμοὶ ἑξῆς ἀνάλογον,
οἱ δὲ ἄκροι αὐτῶν πρῶ-
τοι πρὸς ἀλλήλους ὦσιν,
ἐλάχιστοί εἰσι τῶν τὸν
αὐτὸν λόγον ἐχόντων αὐ-
τοῖς· οἱ Γ Δ Ε ἄρα καὶ οἱ
Ζ Η Θ Κ ἐλάχιστοί εἰσι τῶν



τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α Β· ὅπερ ἔδει δεῖξαι :~



[illegible library stamp]